ἄλλην πᾶσαν θεραπείαν καὶ τιμὴν, ὅση Χριστοῦ μαθητῇ
ἐποφείλεται. οὗτος δὴ οὕτως δεξιωθεὶς χρόνον τινὰ δια-
τέλει πλανῶν τε καὶ πλανώμενος, καὶ τοὺς πειθομένους
εἰς τὸ τῆς ἀπωλείας κατασύρων βάραθρον. Ἀνὴρ δέ
τις Κρικοράκης ἔχων ἐπώνυμον, τοῖς δὲ τέλεσι τῶν ἐπι-
χωρίων ἀρχόντων ἐξεταζόμενος, θεοσεβὴς μὲν τὸ δόγμα,
ἀπαθὴς δὲ τὸ ἦθος, τὸν δὲ ζῆλον ἀξιάγαστος, καὶ τοὺς
θεοστυγεῖς μυσαττόμενος, μαθὼν τὸν πλάνον ἐπιχωριά-
σαντα, χεῖρα λαβὼν στρατιωτικὴν καταλαμβάνει τὸν τό-
πον, ἐν ᾧ τὰ τῆς ἀποστασίας ἐτελεῖτο μυστήρια, καὶ
κυκλωσάμενος τὴν οἰκίαν, αὐτὸν μὲν τὸν τῆς δυσσε-
βείας ἔξαρχον, (οἷα δὴ συμβαίνει ἄλλων πρὸς ἄλλα τρε-
πομένων ἐν ταῖς ἀφνηδίοις ἐπιδρομαῖς τε καὶ ἐφόδοις,)
οὐχ εἷλεν (ἔλαθε γὰρ διαφυγών,) τοὺς δὲ μαθητὰς συν-
εῖλε τοῦ πλάνου, καὶ τὴν νομὴν τέως τοῦ τηλικούτου κακοῦ
φερομένην ἐπέσχε καὶ ἀνεχαίτισεν. Ὁ δὲ τῆς ἀποστασίας
οὗτος θερμὸς διδάσκαλος Ἰωσὴφ, ἦν δὲ αὐτῷ καὶ Ἐπαφρό-
διτος ὄνομα, κραταιῶς ἐλαθεὶς, ὅθεν εἴρηται, καὶ τὴν
φυγὴν ἐπὶ Φρυγίαν ποιούμενος, χρόνῳ ὕστερον βραχεῖ
καταλαμβάνει τὴν ἐν Πισιδίᾳ Ἀντιόχειαν. Ἐν ᾗ παρῳ-
κήσας καὶ ἀδείας τῶν διωκόντων λαβόμενος, ἅτε δὴ
τούτων ὡς πορρωτέρω διαστὰς, πολλοὺς μὲν τῶν ἐπιχω-
ρίων τῆς αὐτοῦ λύμης ἔργον ἀπέδειξε. πολλῆς δὲ τῆς
παρ' ἐκείνων ἠξίωται δεξιώσεως, καὶ τὴν ἀσέβειαν
ἔτεσιν ὅλοις τριάκοντα κηρύξας, μόλις ποτὲ τὸν ἐξάγισ
καὶ ἐβδελυγμένον καταλύει βίον, ἐν προαστείῳ τῆς προ-
ειρημένης πόλεως, πόῤῥω διακειμένῳ, καὶ τὴν ὀνομασίαν
X Χορτοκόπειον ἔχοντι. Ἔτι δὲ τοῦ τρισαλιτηρίου τῷ βίῳ
παρόντος, καὶ ἀκμάζοντος τὴν ἀσέβειαν, μιά τις
τῶν συνήθων αὐτῷ ἀνδρὶ διὰ γάμου ἡρμοσμένη ἐξυ-
βρίζει